

26 OCTOMBRIE
CANON DE RUGACIUNE 2
CATRE
SF.MARE MUCENIC
DIMITRIE DE LA TESALONIC

β) Δεύτερος Κανών τοῦ ἁγίου Συμεών

ΚΑΝΩΝ ΕΙΣ ΤΑ ΜΥΡΑ ΤΟΥ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ (ΚΣ΄ ΟΚΤΩΒΡΙΟΥ)

Ἀκροστιχίς: Δημήτριε πλῆσόν με ὀσμῆς σοῦ μύρου, Συμεών.

Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Δημήτριε, πέλαγος μύρου χαρίτων τοῦ Πνεύματος, γαλήνιος θάλασσα θαυμάτων ἄπλετος, ῥοῦς ἀένναος τά μύρα ἀναβλύζων, ἡμᾶς εὐωδίασον, μαρτύρων μέγιστε.

Ἡ χάρις τῶν μύρων σου τόν οὐρανόν καί γῆν ἔπλησεν ἀγγέλους εὐφραίνουσα καί βροτούς τέρπουσα, ὦ Δημήτριε, Χριστοῦ γάρ σκεῦος ὤφθης, οὗ δόξα ἐπλήρωσε τόν οὐρανόν καί τήν γῆν.

Μυρίζεις τά πέρατα καί μαρτυρεῖς ὡς ἀμίαντος ψυχῇ καί τῷ σώματι πέλεις, Δημήτριε, καί ὡς ἄφθορος παρθένος ἀφθαρσίαν καί θανών τοῖς μύροις σου ῥέεις ἀθάνατον.

Θεοτοκίον

Ἡ χάρις τοῦ τόκου σου καί Δημητρίῳ σκηνώσασα πηγήν τοῦτον ἔδειξε μύρων ἀκένωτον, μιμησάμενον, παρθένε, τόν υἱόν σου, «μύρον ἐκκενούμενον» ὅς ἐπιπέκληται.

Ὠδή γ΄, Τούς σούς ὑμνολόγους.

Τό πλάτος τό μέγα τῆς ψυχῆς σου, Δημήτριε κλέος ἀθλητῶν, ἐν ᾧ Χριστόν ἐχώρησας διδάσκουσι τά μύρα σου, δι' ὧν πάντες κρατοῦμέν σε καί τῆς ὀσμῆς σου πληρούμεθα.

Ῥοῆς δίχα σύ γεγεννημένος ὡς θέσει, σοφέ, υἱός Θεοῦ παρθένος ὤφθης ἄφθορος καί μαρτυρεῖ τά μύρα σου χριστομιμήτου ῥέοντα ἀπό πλευρᾶς σου, Δημήτριε.

Ἱδρῶτες Χριστοῦ ἀγωνιῶντος ὡς αἵματος θρόμβοι ἐπί γῆς ἱδρῶτας

www.tezaurliturgic.ro

Ἀδάμ ἔπαυσαν σῶν ἄθλων δέ, Δημήτριε, ἱδρῶτες μύρα ὤφθησαν ὁρμήν παθῶν καταπαύοντα.

Θεοτοκίον

Ἐχώρησας, κόρη, τό ζῶν μύρον Χριστόν ὡς ἀλάβαστρον, ἁγνή, ἐνυποστάτως, δέσποινα, τήν χάριν δέ τοῦ μύρου τοῦ σοῦ ὡς σκεῦος ἁγνόν ἔλαβε καί μύρα βλύζει Δημήτριος.

Ὠδή δ΄. Τήν ἀνεξιχνίαστον.

Πυρεῖον, Δημήτριε, σύ νοητόν θύσας τήν ψυχήν ὡς θυμίαμα καί κρατήρ θεῖος αἷμα σπείσας τῷ Χριστῷ, ὅ μύρον ὤφθη εὔοσμον ὑπέρ πᾶν θυμίαμα, ἔνδοξε.

Λουτρῷ τοῦ βαπτίσματος πρίν ἐκπλυθείς καθαρός τε μείνας καί δεύτερον τῷ μαρτυρίου θείῳ αἵματι λουθείς ὡς κολυμβήθρα γέγονας ἐκπλύνων πιστούς ἐν τοῖς μύροις σου.

Ἡ καθαρωτάτη σου, μάρτυς, ψυχή ἡ ὑπέρ χιόνα, Δημήτριε, οἷα νεφέλη ὑετίζουσα ὡς γῆν σοῦ σῶμα τό πολύαθλον κρήνην ἀναβλύζει τῶν μύρων σου.

Θεοτοκίον

Σῶμα δίχα ῥεύσεως Θεός ἐκ σοῦ ἔλαβεν, ἁγνή, καί ἠφθάρτισε βροτῶν τήν φύσιν διό ἄφθαρτος ἐν σοί ὁρᾶται ὁ Δημήτριος καί τά μύρα ῥέων ἀκένωτος.

Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.

Ὀσμή τῶν μύρων σου ὑπέρ πάντα ἀρώματα, μέγιστε μαρτύρων καί παρθένων, ὄντως ὑπάρχει, θεῖε Δημήτριε, ὧν τούς χριομένους τῆς ἐν σοί νοητῆς τοῦ Πνεύματος θείας ὀσμῆς ἐκπλήρωσον.

Νικᾷς, ὦ Δημήτριε, τῷ βίῳ καί τῷ λόγῳ σου καί τῷ μαρτυρίῳ τόν σκορπίον τόν ἰοβόλον νοητῶς πρότερον σύν τῷ αἰσθητῷ καί τοῦ ἰοῦ ὀφθείς τούτου ἀψαύστως, μύρα βλύζεις ζωήρρυτα.

Μαρτυρίου πρότερον τό μάννα θείου θαύματος ἐν στάμνῳ τηρούμενον τοῦ νόμου, σύ δ' ὥσπερ στάμνος, μάρτυς τῆς χάριτος, οὐ μάννα παυσάμενον πλουτεῖς, μύρον δέ, Δημήτριε, εἰς Χριστοῦ δόξαν ἄπαυστον.

www.tezaurliturgic.ro

Θεοτοκίον

Ἐρρύη ἡ δρόσος σου καί ἴαμα ἐγένετο πάσης γῆς ἡ χάρις σου, παρθένε, ἧς κοινωνήσας καί ὁ Δημήτριος οἷα δρόσον μύρα τοῖς πιστοῖς βλύζει ἀναψύχοντα, μεθ' οὗ, κόρη, τιμῶμέν σε.

Ὠδή ς΄. Τήν θείαν ταύτην.

Ὄρος ὑψίκομον γέγονας τῶν θείων ἀρετῶν, ὦ Δημήτριε, καί γλυκασμόν ἡμῖν ῥέεις τά μύρα σου πάντοτε, ἐξ ὧν τρυφῶντες, μάρτυς, σέ μακαρίζομεν.

Σύ μεθ' ἡμῶν καί τῷ πνεύματι ὡς μύροις σου ὑπάρχεις, Δημήτριε, Χριστόν ποθήσας γάρ τόν μεθ' ἡμῶν εἶναι φήσαντα, ποθεῖσθαι χάριν ἔσχες καί πᾶσι δίδοσθαι.

Μέγας ἐν βίῳ, Δημήτριε, καί μέγας ἐν τοῖς λόγοις καί ἄθλοις σου ὤφθης καί θαύμασι καί θαυμαστός ἐν τοῖς μύροις σου καί μέγιστα ἰσχύων, ἡμᾶς περίσωζε.

Θεοτοκίον

Ἡ μεθ' ἡμῶν Θεοῦ ἕνωσις θεούς τούς γηγενεῖς, κόρη ἔδειξεν ἔνθεα πράττοντας διό καί μύρα Δημήτριος βλύζει, μεθ' οὗ, παρθένε, σέ μακαρίζομεν.

Ὠδή ζ΄. Οὐκ ἐλάτρευσαν.

Σύ τό ἔλαιον τό τῆς ἀγαλλιάσεως, μάρτυς Δημήτριε, ἐν τῇ ψυχῇ σου λαβών ὡς κέρας γενόμενος χρίεις τοῖς μύροις σου τούς κραυγάζοντας. Ὁ τῶν πατέρων Κύριος καί Θεός εὐλογητός εἶ.

Σύ ὡς μέλισσα ἐν σμίβλῳ τῇ καρδίᾳ σου, θεῖε Δημήτριε, οἷάπερ μέλι Χριστοῦ τήν χάριν τοῖς ἄθλοις σου ἐνεθησαύρισας, ἥ τοῖς μύροις σου γλυκαίνει τάς ψυχάς ἡμῶν ὑπέρ μέλι καί κηρίον.

Ὁ τόν Νέστορα θαρρύνας ἐν τοῖς λόγοις σου καί καθοπλίσας εὐχαῖς καί τόν Λυαῖον ἐχθρόν κτείνας, ὦ Δημήτριε, καί τούς ἐχθρούς ἡμῶν θραῦσον ἅπαντας θαρρύνων καί φρουρῶν ἡμᾶς, οἷς χριόμεθά σου μύροις.

Ὑπέρ ἄμπελον τό σῶμά σου, Δημήτριε, βλύζον οὐ παύεται, ὑπέρ ἐλαίαν ἀεί ὡς οἶνον καί ἔλαιον τρυφήν ἀδάπανον τά εὐφραίνοντα καί πάντας ἱλαρύνοντα θαυματόβρυτά σου μύρα.

Θεοτοκίον

Μυροθήκη πρώτη, Δέσποινα, σύ γέγονας τοῦ ζῶντος μύρου Χριστοῦ καί τῶν χαρίτων αὐτοῦ διά σοῦ καί ἕτεροι δοχεῖα ὤφθησαν, ὧν ἐξαίρετος ὁ μέγιστος Δημήτριος αἰσθητῶς τά μύρα βλύζων.

Ὠδή η΄. Παῖδας εὐαγεῖς.

Ὑμνοῦμεν τούς σούς ἀγῶνας, μάρτυς, τόν ζῆλον, τήν παρθενίαν, ὦ Δημήτριε, τόν λόγον, τά θαύματα, τούς ἄθλους, τά σκάμματα, τάς τρώσεις, ἃς εἰργάσαντο λόγχαι τῷ σώματι, ἐξ ὧν ἀνεστομώθη τό μύρον, ὅ οἱ ἀπαντλοῦντες ἀεί σε εὐφημοῦμεν.

Ῥέουσα πηγή τό νεκρόν σῶμά σου καί λογχευθέν ἐστί, Δημήτριε, καί οὐ βλύζει νέκρωσιν, ζώντων δέ καθάρσιον καί φάρμακον λυτήριον παντός παθήματος, ἡδύνον εὐωδέστατον μύρον, ᾧ οἱ κεχρημένοι σέ, μάκαρ, ἀνυμνοῦμεν.

Ὀσμή σύ ζωῆς ἡμῖν, παμμάκαρ, γενοῦ ζωοδόχοις θείοις μύροις σου, ἃ τιμῶμεν, ἔνδοξε, Χριστόν μεγαλύνοντες, ὀσμή θανάτου πάλιν δέ γενοῦ, Δημήτριε, ἀθέοις παρανόμοις βαρβάροις καί σῷζε σήν πόλιν καί πᾶσαν πιστῶν πόλιν.

Ὑμνεῖς σύν ἀγγέλοις τόν δεσπότην ἰσάγγελος παρεστώς αὐτῷ, Δημήτριε, ἀκτῖνας δεχόμενος, τοῦτον μιμησάμενος ἐκ λόγχης τῆς πλευρᾶς αὐτοῦ καί πέλεις ἥλιος ἡμᾶς τούς ἐπί γῆς καταλάμπων τοῖς ἐκ τῆς πλευρᾶς σου λελογχευμένης μύροις.

Θεοτοκίον

Σύρροια τῶν θείων χαρισμάτων, Θεοτόκε χαῖρε ἀειπάρθενε, σύ παντός χαρίσματος Δημήτριον ἔπλησας, παρθένον καί διδάσκαλον, προφήτην μάρτυρα, θαυμάτων αὐτουργόν, μυροβλύτην δείξασα, διό σε σύν τούτῳ νῦν ὑμνοῦμεν.

Ὠδή θ΄. Ἅπας γηγενής.

Ὑψόθεν, σοφέ, τοῦ μύρου πληρούμενος τῆς θείας χάριτος, ἐλθέ καί ἐκκένωσον τήν εὐωδίαν τήν σήν, Δημήτριε, ἐν ταῖς ψυχαῖς τῶν πόθῳ σε ὑμνούντων, ἔνδοξε, καί τά μύρα πίστει χριομένων σου καί δεινῶν ἐκ παντοίων ἐκλύτρωσαι.

Μύρου νοητοῦ ὑπάρχων ἀλάβαστρον, μάρτυς Δημήτριε, τῆς ἀγαλλιάσεως, τοῦ σωτηρίου τε κέρας ἅγιον τούς βασιλεῖς περίχρισον ἡμῶν, τό μύρον σου χριομένους καί δόξῃ στεφάνωσον καί ἐν νίκαις

καί χάρισιν εὔφρανον.

Ἔργα θαυμαστά καί ζῶν ἐξετέλεσας ὡς ἰσαπόστολος καί ὄντως ἰσάγγελος καί μέγας μάρτυς Χριστοῦ, Δημήτριε, καί μετά τέλος τέρατα τελεῖς τοῖς μύροις σου, ἃ τούς πίστει χριομένους φρούρησον καί ἐχθρούς τούς ἡμῶν πάντας σύντριψον.

Ὡς πλήρης, σοφέ, τῶν θείων τοῦ Πνεύματος δωρεῶν πλήρωσον πᾶσαν τάξιν, ἔνδοξε, πιστῶν τῇ μνήμῃ σου πάσης χάριτος, ποιμένας, ἱερεῖς Χριστοῦ καί κλῆρον ἅπαντα, μοναστάς τε, βασιλεῖς σύν ἄρχουσι καί λαόν ἐπευφραίνων τοῖς μύροις σου.

Θεοτοκίον

Νίκη ἀθλητῶν καί βραβεῖον, δέσποινα, χαῖρε καί στέφανος ἡ τόν Δημήτριον στέψασα δόξῃ, μύροις καί θαύμασι σύν τούτῳ περιφύλαττε τούς βασιλεῖς ἡμῶν, τήν σήν πόλιν, τόν λαόν σου, ἄχραντε ἐκ ψυχῆς Θεοτόκον ὑμνοῦντά σε.

